## Λέαινα Φιλοδήμῳ

Εἰδόν σου τὴν νύμφην μυστηρίοις καλὸν περιβεβλημένην θέριστρον· ἐλεῶ σε νὴ τὴν Ἀφροδίτην, ταλαίπωρε, οια πάσχεις μετ' ἐκείνης καθεύδων τῆς χελώνης. οιον τὸ χρῶμα τῆς γυναικός, αὐτοσανδαράκη· ἡλίκους δὲ καθεῖτο τοὺς πλοκάμους ἡ νύμφη, οὐδὲν ἐοικότας ταῖς ἐπὶ τῆς κορυφῆς θριξίν. ὅσον δὲ κατεπέπλαστο ψιμύθιον· καὶ ἡμᾶς τὰς ἑταίρας λοιδοροῦσιν ὅτι καλλωπιζόμεθα. ἀλλὰ μεγάλην εἶχεν ἅλυσιν – ἀξία γέ ἐστιν ἐν ἁλύσει διατελεῖν πλὴν οὐχὶ χρυσῇ – φάσματος ἔχουσα πρόσωπον. ἡλίκοι δὲ οἱ πόδες, ὡς πλατεῖς, ὡς ἄρρυθμοι. αἰαῖ, γυμνὴν περιλαβεῖν ἐκείνην οἷόν ἐστιν· ἐμοὶ μὲν καὶ βαρύ τι ἐδόκει προσπνεῖν· μετὰ φρύνου καθεύδειν ἂν εἱλόμην. Νέμεσι δέσποινα. ἐμβλέψαι τί μὴ δωρίδι βούλομαι ἢ μετὰ τῆς ἁλύσεως καὶ τῶν περισκελλίδων συγκεραυνοῦσθαι αὐτήν.

## Ἀνίκητος Φοιβιανῇ

Φεύγεις με, ὦ Φοιβιανή, φεύγεις, καὶ ταῦτα ἀρτίως ὅλον τὸν ἀγρὸν ἀπενεγκαμένη. τί γὰρ οὐ τῶν ἐμῶν λαβοῦσα ἔχεις; οὐ σῦκα; οὐ τυρὸν ἐκ ταλάρων; οὐκ ἔριφον νεογιλόν; οὐκ ἀλεκτορίδων ζεῦγος; οὐ τὰ λοιπὰ τρυφήματα πάντα ἔστι σοι ἐξ ἐμοῦ; οὕτως ὅλον με αὐτῇ ... κατὰ



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416175945/49 UNIVERSITÄT LEIPZIG